παραλογισαμένων τὴν τῶν ἐπικρατούντων ἀκέραιον εὐγνωμοσύνην.
12g [12g]σκοπεῖν δὲ ἔξεστιν, οὐ τοσοῦτον ἐκ τῶν παλαιοτέρων ὧν παρ-
εδώκαμεν ἱστοριῶν, ὅσα ἐστὶν παρὰ πόδας ὑμᾶς ἐκζητοῦντας ἀνο-
σίως συντετελεσμένα τῇ τῶν ἀνάξια δυναστευόντων λοιμότητι,
12h [12h]καὶ προσέχειν εἰς τὰ μετὰ ταῦτα εἰς τὸ τὴν βασιλείαν ἀτάρα-
12i χον τοῖς πᾶσιν ἀνθρώποις μετ᾽ εἰρήνης παρεξόμεθα [12i]χρώμενοι
ταῖς μεταβολαῖς, τὰ δὲ ὑπὸ τὴν ὄψιν ἐρχόμενα διακρίνοντες ἀεὶ
12k μετ᾽ ἐπιεικεστέρας ἀπαντήσεως. [12k]ὡς γὰρ Αμαν Αμαδαθου Μακε-
δών, ταῖς ἀληθείαις ἀλλότριος τοῦ τῶν Περσῶν αἵματος καὶ πολὺ
12l διεστηκὼς τῆς ἡμετέρας χρηστότητος, ἐπιξενωθεὶς ἡμῖν [12l]ἔτυχεν
ἧς ἔχομεν πρὸς πᾶν ἔθνος φιλανθρωπίας ἐπὶ τοσοῦτον ὥστε ἀν-
αγορεύεσθαι ἡμῶν πατέρα καὶ προσκυνούμενον ὑπὸ πάντων τὸ
12m δεύτερον τοῦ βασιλικοῦ θρόνου πρόσωπον διατελεῖν, [12m]οὐκ ἐνέγ-
κας δὲ τὴν ὑπερηφανίαν ἐπετήδευσεν τῆς ἀρχῆς στερῆσαι ἡμᾶς
12n καὶ τοῦ πνεύματος [12n]τόν τε ἡμέτερον σωτῆρα καὶ διὰ παντὸς
εὐεργέτην Μαρδοχαῖον καὶ τὴν ἄμεμπτον τῆς βασιλείας κοινωνὸν
Εσθηρ σὺν παντὶ τῷ τούτων ἔθνει πολυπλόκοις μεθόδων παρα-
12o λογισμοῖς αἰτησάμενος εἰς ἀπώλειαν· [12o]διὰ γὰρ τῶν τρόπων
τούτων ᾠήθη λαβὼν ἡμᾶς ἐρήμους τὴν τῶν Περσῶν ἐπικράτησιν
12p εἰς τοὺς Μακεδόνας μετάξαι. [12p]ἡμεῖς δὲ τοὺς ὑπὸ τοῦ τρισαλι-
τηρίου παραδεδομένους εἰς ἀφανισμὸν Ιουδαίους εὑρίσκομεν οὐ
12q κακούργους ὄντας, δικαιοτάτοις δὲ πολιτευομένους νόμοις, [12q]ὄντας
δὲ υἱοὺς τοῦ ὑψίστου μεγίστου ζῶντος θεοῦ τοῦ κατευθύνοντος
ἡμῖν τε καὶ τοῖς προγόνοις ἡμῶν τὴν βασιλείαν ἐν τῇ καλλίστῃ
12r διαθέσει. [12r]καλῶς οὖν ποιήσετε μὴ προσχρησάμενοι τοῖς ὑπὸ
Αμαν Αμαδαθου ἀποσταλεῖσι γράμμασιν διὰ τὸ αὐτὸν τὸν ταῦτα
ἐξεργασάμενον πρὸς ταῖς Σούσων πύλαις ἐσταυρῶσθαι σὺν τῇ
πανοικίᾳ, τὴν καταξίαν τοῦ τὰ πάντα ἐπικρατοῦντος θεοῦ διὰ τά-
12s χους ἀποδόντος αὐτῷ κρίσιν, [12s]τὸ δὲ ἀντίγραφον τῆς ἐπιστολῆς
ταύτης ἐκθέντες ἐν παντὶ τόπῳ μετὰ παρρησίας ἐᾶν τοὺς Ιουδαίους
χρῆσθαι τοῖς ἑαυτῶν νομίμοις καὶ συνεπισχύειν αὐτοῖς ὅπως τοὺς
ἐν καιρῷ θλίψεως ἐπιθεμένους αὐτοῖς ἀμύνωνται τῇ τρισκαιδεκάτῃ

12f παραλογισαμενων] -μενος SA 58†, -μενοι 93†: cf. 12e | ευγνωμοσ.] επιγνωσιν S† || 12g ων V†] > S†: exciditne post -ων?; ως rel. | παραδεδωκαμεν Sc | οσα — εκζητουντας] οσον εστιν παρα μερος υμιν εκζητουν S†: alias eiusdem codicis lectiones inanes praetereo || 12h τα] το S | εις το] και Sc† || 12i χρωμενοι] pr. ου AO (sed cf. 12r μη) | μεταβολαις] διαβ. 93† | απαντησεως] αγανακτ. S† || 12k αμαδαθου: cf. 1 1r || 12l ωστε] ως A† || 12m στερησαι ημας] tr. A† | και > A† || 12o τουτων > A† | λαβων ... την] λαβειν ... την τε AO† | των 2⁰ > A 58† || 12p ου κακουργους] κακ. ουκ A† | δικαιοτατοις] αναγκαιοτ. S† || 12q του 1⁰ > A† || 12r ποιησατε A | αμαδαθου: cf. 1 1r | τον > SA: post αυτον | τα > S || 12s νομιμοις] νομοις SA | αυτοις ult. > S†